# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ

## ΤΟΥ ΟΡΘΡΟΥ ΚΑΙ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

ΤΗΣ ΕΟΡΤΗΣ

## ΤΗΣ ΠΑΜΜΑΚΑΡΙΣΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

1905

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ

## ΤΟΥ ΟΡΘΡΟΥ ΚΑΙ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

ΤΗΣ ΕΟΡΤΗΣ

## ΤΗΣ ΠΑΜΜΑΚΑΡΙΣΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

1905

# ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

Ἐὰν τύχῃ ἡ ἑορτὴ τῆς Ἰνδίκτου καὶ τῆς Παμμακαρίστου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν προοιμιακὸν καὶ τὴν α'. στάσιν τοῦ Ψαλτηρίου ψάλλομεν εἰς τὸ «Κύριε ἐκέκραξα» στιχηρὰ τῆς Ἰνδίκτου γ'. καὶ τῆς Παμμακαρίστου γ'. Δόξα, τῆς Ἰνδίκτου «**Ὁ Πνεύματι ἁγίῳ**» Καὶ νῦν, τῆς Παμμακαρίστου «**Σήμερον συγκαλεῖται ἡμᾶς**». Εἴσοδος, Φῶς ἱλαρὸν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα: «**Πνεῦμα Κυρίου ἐπ' ἐμὲ** κτλ. **Ἐλάλησε Κύριος τοῖς υἱοῖς Ἰσραὴλ** κτλ. **Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης** κτλ.» (βλ. 8 Σεπτεμβρίου). Εἰς τὰ ἀπόστιχα τὰ γ'. τῆς Ἰνδίκτου, Δόξα καὶ νῦν, τῆς Παμμακαρίστου «**Δεῦτε φιλεόρτων τὸ σύστημα**». Ἀπολυτίκιον τῆς Ἰνδίκτου, Δόξα καὶ νῦν, τῆς Παμμακαρίστου «**Πανήγυριν σήμερον**».

Εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν'. Ψαλμὸν τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς Παμμακαρίστου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ «Θεὸς Κύριος» τὰ ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος «**Ἐξηρεύξατο ἡ καρδία μου**». Εἰς τὴν α'. στιχολογίαν, Κάθισμα τῆς Ἰνδίκτου «**Ὁ καιροὺς καρποφόρους**». Δόξα καὶ νῦν τῆς Παμμακαρίστου «**Κατ' εἰκόνος σεπτῆς σου τοὺς διωγμοὺς**» εἰς τὴν β'. αὖθις Κάθισμα τῆς Ἰνδίκτου «**Ὡς Δεσπότῃ τοῦ παντὸς**» Δόξα καὶ νῦν, τῆς Παμμακαρίστου «**Ἡ ἁγία σου Ἁγνὴ καὶ χαριτόβρυτος εἰκὼν**» εἰς δὲ τὴν γ'. στιχολογίαν τὸ κάθισμα τῆς Παμμακαρίστου «**Ἡ θεία σου εἰκὼν**» ἐκ δευτέρου.

Εἶτα τὸ ἀντίφωνον τοῦ Δ′, ἤχου, τὸ προκείμενον «**Μνησθήσομαι τοῦ ὀνόματός σου**» μετὰ τῶν στίχων «**Ἄκουσον θύγατερ**» καὶ «**Ἐξηρεύσατο ἡ καρδία μου**» (Ψαλμ. 44), τὸ Πᾶσα πνοή, τὸ Εὐαγγέλιον «**Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριὰμ**» ὁ Ν′. χῦμα, Δόξα «**Ταῖς τῆς Παναχράντου**», Καὶ νῦν «**Ταῖς τῆς Θεοτόκου**», ὁ στίχ. «**Ἐλέησόν με ὁ Θεὸς**» καὶ τὸ στιχηρ. Ἰδιόμελον τῆς Ἰνδίκτου, «**Ὁ ἐν σοφίᾳ τὰ πάντα**». «**Σῶσον ὁ Θεὸς τὸν λαόν σου**» κτλ. οἱ χοροὶ τετράκις τὸ «**Κύριε ἐλέησον**» ἀνὰ τρεῖς καὶ τέλος τὸ Ἐλέει καὶ οἰκτιρμοῖς. Ἐφ᾽ ἑξῆς οἱ Κανόνες τῆς Ἰνδίκτου μετὰ στίχου, «**Δόξα σοι ὁ Θεὸς ἡμῶν**» καὶ τῆς Παμμακαρίστου μετὰ στίχ. «**Ὑπεραγία Θεοτόκε**» ἀνὰ τέσσαρα ἐξ ἑκάστης ᾠδῆς. Ἀπὸ τρίτης ᾠδῆς, τὸ Κοντάκιον μετὰ τοῦ Οἴκου τῆς Ἰνδίκτου χῦμα· εἶτα, τὸ Καθισμα τῆς Ἰνδίκτου, Δόξα καὶ νῦν, Κάθισμα τῆς Παμμακαρίστου «**Ἡ ἁγία σου Ἁγνὴ**» κτλ. Ἀφ᾽ ἕκτης ᾠδῆς, Κοντάκιον καὶ Οἶκος τῆς Παμμακαρίστου, τὸ Μηνολόγιον τῆς ἡμέρας καὶ αἱ Καταβασίαι «**Σταυρὸν χαράξας**» κτλ. εἶτα ψάλλεται ἡ Θ′. ᾠδὴ καὶ τῶν δύο Κανόνων καὶ ἡ Καταβασία «**Μυστικὸς εἶ, Θεοτόκε, Παράδεισος**» κτλ. Ἐξαποστειλάρια, δύο τῆς Ἰνδίκτου καὶ ἓν τῆς Παμμακαρίστου. Εἰς τοὺς αἴνους, Στιχηρὰ τρία τῆς Ἰνδίκτου καὶ τρία τῆς Παμμακαρίστου, Δόξα, τῆς Ἰνδίκτου «**Ὁ ἀρρήτῳ σοφίᾳ**», Καὶ νῦν, τῆς Παμμακαρίστου, «**Ἡ Πνεύματι ἁγίῳ**» κτλ. Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον τῆς Παμμακαρίστου.

Εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα ὡς ἑξῆς:

### Ἀντίφωνον α′.

| | |
|---|---|
| Μνήσθητι, Κύριε, τοῦ Δαυΐδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.<br>Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.<br>Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.<br>Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται. | **Ταῖς πρεσβείαις τῆς Θεοτόκου...** |



### Ἀντίφωνον β′.

| | |
|---|---|
| Ὤμοσε Κύριος τῷ Δαυΐδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.<br>Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.<br>Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυΐδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.<br>Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. | **Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν ἁγίοις θαυμαστὸς . . .** |

Δόξα καὶ νῦν «**Ὁ Μονογενὴς**»

### Ἀντίφωνον γ′.

| | |
|---|---|
| Ὧδε κατοικήσω ὅτι ἡρετισάμην αὐτήν.<br>Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.<br>Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. | **Τὸ Ἀπολυτ. τῆς Παμμακαρίστου** |

Εἰς τὴν εἴσοδον· «**Μέγας ὁ Κύριος ἡμῶν καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν· Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν ἁγίοις**» κτλ. τὸ Ἀπολυτίκιον τῆς Ἰνδίκτου καὶ εἶτα, τῆς Παμμακαρίστου καὶ τὸ Κοντάκιον· «**Ὁ τῶν αἰώνων Ποιητὴς καὶ Δεσπότης.**» Ἀπόστολος τῆς Παναγίας (Ζήτει 8 Σεπτεμβρίου) καὶ Εὐαγγέλιον τῆς Ἰνδίκτου. Εἰς τὸ Ἐξαιρέτως «**Ἀλλότριον τῶν μητέρων**» κτλ. Εἰς τὰ δίπτυχα, τὸ μεγαλυνάριον «**Τῆς ἀειπαρθένου σεμνῆς μητρὸς**» κτλ. Κοινωνικὸν «**Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, Κύριε. Ἀλληλούϊα». Εἴδομεν τὸ φῶς,** καὶ ἀπόλυσις.

---

**Ε**ὰν τύχῃ ἐν Κυριακῇ, ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν προοιμιακὸν καὶ τὸ α′. Κάθισμα τοῦ Ψαλτηρίου ψάλλομεν εἰς τὸ «**Κύριε ἐκέκραξα**» ἀναστάσιμα στιχηρὰ δ′. τῆς Ἰνδίκτου γ′. καὶ τῆς Παμ-

μακαρίστου γ'. Δόξα, τῆς Ἰνδίκτου «**Ὁ Πνεύματι ἁγίῳ**» Καὶ νῦν, τὸ α'. Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ὡς προεγράφη. Εἰς τὰ ἀπόστιχα, τὰ ἀναστάσιμα στιχηρά, Δόξα καὶ νῦν, τῆς Παμμακαρίστου. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον, τῆς Ἰνδίκτου, καὶ τῆς Παμμακαρίστου.

Εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν'. Ψαλμὸν ὁ Τριαδικὸς κανών, τὰ Τριαδικά, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς Παμμακαρίστου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ «**Θεὸς Κύριος**» τὰ ἀπολυτίκια, ὡς εἰς τὸν Ἑσπερινόν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος «**Ἐξηρεύξατο ἡ καρδία μου**» κτλ. Εἰς τὴν α'. στιχολογίαν Καθίσματα, Ἀναστάσιμον, τῆς Ἰνδίκτου καὶ τῆς Παμμακαρίστου· εἰς τὴν β'. στιχολογίαν, ὡσαύτως, εἰς δὲ τὴν γ'. τὸ τῆς Παμμακαρίστου ἐκ δευτέρου, ἡ αἴτησις, ἡ Ὑπακοὴ τοῦ ἤχου ὡς καὶ οἱ Ἀναβαθμοί, τὸ Προκείμενον «**Μνησθήσομαι τοῦ ὀνόματός σου**» μετὰ τῶν στίχων, ὡς εἴρηται, τὸ Πᾶσα πνοή, τὸ Εὐαγγέλιον «**Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριὰμ**», τὸ «Ἀνάστασιν Χριστοῦ» καὶ ὁ Ν'. χῦμα, Δόξα, «**Ταῖς τῆς Παναχράντου**» Καὶ νῦν, «**Ταῖς τῆς Θεοτόκου**», ὁ στίχ. «**Ἐλέησόν με ὁ Θεὸς**» καὶ τὸ Ἰδιόμελον τῆς Ἰνδίκτου. Εἶτα οἱ Κανόνες, ὁ Ἀναστάσιμος, ὁ τῆς Ἰνδίκτου μετὰ στίχ. «Δόξα σοι ὁ Θεὸς» καὶ ὁ τῆς Παμμακαρίστου μετὰ στίχ. «Ὑπεραγία Θεοτόκε» ἀνὰ δ'. ἐξ ἑκάστης ᾠδῆς. Ἀπὸ γ'. ᾠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα τῆς Ἰνδίκτου καὶ τῆς Παμμακαρίστου ἀφ' ς'. τὸ Κοντάκιον καὶ ὁ Οἶκος τῆς Παμμακαρίστου καὶ τὸ Μηνολόγιον, ὡς προερρέθη. Εἶτα αἱ Καταβασίαι «**Σταυρὸν χαράξας**», ἡ Θ'. ᾠδὴ καὶ τῶν δύο Κανόνων, ἡ Καταβασία «**Μυστικὸς εἶ, Θεοτόκε, Παράδεισος**», τὰ Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τὸ τῆς Ἰνδίκτου, καὶ τὸ τῆς Παμμακαρίστου. Εἰς τοὺς Αἴνους ἀναστάσιμα δ'. τῆς Ἰνδίκτου β'. καὶ τῆς Παμμακαρίστου β'. Δόξα, τῆς Ἰνδίκτου, Καὶ νῦν, τῆς Παμμακαρίστου, Δοξολογία μεγάλη καὶ τὸ «**Σήμερον σωτηρία**» κτλ.

Εἰς τὴν λειτουργίαν, τὰ ἀντίφωνα τῆς ἑορτῆς μετὰ τοῦ «**Ὁ ἀναστὰς ἐκ νεκρῶν**». Μετὰ τὴν Εἴσοδον «**Δεῦτε προσκυνήσωμεν**», τὸ Ἀναστάσιμον ἀπολυτίκιον, τῆς Ἰνδίκτου, τῆς Παμμακαρίστου, τοῦ ἁγίου τοῦ ναοῦ, τὸ Κοντάκιον τῆς Ἰνδίκτου, Ἀπόστολος τῆς Θεοτόκου καὶ Εὐαγγέλιον τῆς Ἰνδίκτου, εἰς τὸ Ἐξαιρέτως «**Ἀλλότριον τῶν μητέρων**» κτλ. εἰς τὰ δίπτυχα τὸ μεγαλυνάριον τῆς Παμμακαρίστου, Κοινωνικὸν «**Εὐλόγησον τὸν στέφανον**» «**Εἴδομεν τὸ φῶς**» καὶ ἀπόλυσις.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΣΕΠΤΕΜΒΡΙΟΥ Α΄.

## ΑΡΧΗ ΤΗΣ ΙΝΔΙΚΤΟΥ

**ΚΑΙ Η ΣΥΝΑΞΙΣ ΠΡΟΣ ΤΙΜΗΝ ΚΑΙ ΜΝΗΜΗΝ**

ΤΗΣ ΕΝ ΤΩ ΠΑΝΣΕΠΤΩ ΠΑΤΡΙΑΡΧΙΚΩ ΝΑΩ

ΚΑΤΑΤΕΘΕΙΜΕΝΗΣ ΣΕΠΤΗΣ ΕΙΚΟΝΟΣ

**ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ**

**ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ**

ΤΗΣ ΕΠΙΛΕΓΟΜΕΝΗΣ

## ΤΗΣ ΠΑΜΜΑΚΑΡΙΣΤΟΥ

### ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ.

Στιχολογοῦμεν τὴν α΄. στάσιν τοῦ «Μακάριος ἀνήρ»· εἰς τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχους ϛ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς Ἰνδίκτου γ΄. καὶ τῆς Παμμακαρίστου γ΄.

Ἦχος α΄. «**Ὢ τοῦ παραδόξου θαύματος**».

Σήμερον λαμπρὰ πανήγυρις, τοῖς πιστοῖς, Παρθένε, παμφαῶς ἐξέλαμψεν. Ἀγάλλονται οὐρανοί, καὶ συγχορεύει ἡ γῆ· συγχαίρει δ᾽ ἡ τοῦ Χριστοῦ, πρεσβυγενὴς Ἐκκλησία, Πανάμωμε, καὶ τέρπεται ἐν Χριστῷ,

* Ἡ ἀκολουθία τοῦ ὁσίου καταλιμπάνεται ἐν τοῖς Ἀποδείπνοις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τὴν ἑορτήν σου λαμπρῶς ἑορτάζουσα· καὶ Δημιουργὸς ὁ μέγας, ἐν ψαλμοῖς καὶ ᾄσμασι, συνδοξάζεται ὄντως, Παναγία Παμμακάριστε.

Σήμερον φαιδροῖς ἐν ᾄσμασιν εὐσεβῶς, Παρθένε, τὸν Χριστὸν δοξάζοντες, τελοῦμέν σου τὴν σεπτήν, βασιλικὴν ἑορτήν. Ὑπάρχεις γὰρ ἀληθῶς, τῶν νοερῶν ἀρχαγγέλων Παντάνασσα· διό σε, Μῆτερ Θεοῦ, σὺν τοῖς Ἀγγέλοις ἀεὶ μακαρίζομεν. Κεχαριτωμένη, χαῖρε, τῶν πιστῶν διάσωσμα, προστασία τοῦ κόσμου, Παναγία Παμμακάριστε.

Σήμερον τὴν σὴν πανήγυριν εὐλαβῶς, Παρθένε, σὺν ἀγγέλοις ἄγομεν, τιμῶντές σου τὴν σεπτὴν καὶ σεβασμίαν μορφήν. Ἀγάλλεται ὁ λαὸς τῆς βασιλίδος νῦν ταύτης τῶν πόλεων, εὐσεβοφρόνως τιμῶν θεοειδοῦς σου μορφῆς τὸ εἰκόνισμα, καὶ ἐν κατανύξει κράζει, σεμνὴ Παμμακάριστε, τὸν Υἱόν σου δυσώπει ὑπὲρ τῶν πόθῳ τιμώντων σε.

Ἕτερα. Ἦχος α΄. **«Τῶν οὐρανίων»**.

Λαμπροφανὴς καὶ πανένδοξος ἀνατέταλκε, τῇ βασιλίδι αὖθις ἡ πανέορτος μνήμη εἰκόνος σεβασμίας τῆς ὑπὲρ νοῦν γενομένης θεόπαιδος· ἀνευφημοῦντες οὖν ταύτην, πίστει θερμῇ καὶ καρδίᾳ μακαρίσωμεν.

Πανευλαβῶς ἀσπαζόμεθα, Παμμακάριστε, τὴν



ἱεράν σου πάντες καὶ ἁγίαν εἰκόνα· θερμὴν παραμυθίαν ταύτην ἀεί, ἐν ταῖς θλίψεσιν ἔχοντες· οἱ τοῖς τοῦ βίου κυκλούμενοι πειρασμοῖς, Θεοτόκε ἀειπάρθενε.

Τῆς εὐσεβείας οἱ παῖδες δεῦτε συνδράμωμεν ἐπὶ τῇ θείᾳ μνήμῃ τῆς πανσέπτου εἰκόνος τῆς ὄντως Θεοτόκου καὶ εὐλαβῶς πρὸς αὐτὴν ἀνακράξωμεν ἀπὸ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τοὺς τιμῶντάς σε περίσωζε.

Δόξα· τῆς Ἰνδίκτου, Καὶ νῦν· τῆς Παμμακαρίστου.

Ἦχος πλ. β΄.

Σήμερον συγκαλεῖται ἡμᾶς, τῆς Θεοτόκου ἡ σεβάσμιος πανήγυρις. Ἐν χαρᾷ οὖν καὶ ἀγαλλιάσει, τῇ σεπτῇ αὐτῆς εἰκόνι προσπίπτοντες, βοήσωμεν λέγοντες. Θεοτόκε Παμμακάριστε, ἡ μεσίτρια καὶ σκέπη τῶν εἰς σὲ μετὰ Θεὸν καταφευγόντων, διαφύλαξον τὴν πόλιν σου ἄτρωτον ἀπὸ τῶν ἐναντίων προσβολῶν. Τῇ ἀμάχῳ γάρ σου προστασίᾳ εἰρήνην βραβεύεις καὶ ἱλασμὸν ἁμαρτιῶν, τοῖς μετὰ πόθου προσκυνοῦσι τὴν εἰκόνα σου, Ἄχραντε.

Εἴσοδος, Φῶς ἱλαρὸν—Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα, ὧν δύο τῆς Ἰνδίκτου καὶ ἓν τῆς Παμμακαρίστου τὸ ἑπόμενον.

**Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα,**

Τάδε λέγει Κύριος. Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν ...... (ὅρα τῇ 8ῃ Σεπτεμβρίου).

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς Ἰνδίκτου.

Δόξα, Καὶ νῦν τῆς Παμμακαρίστου.

Ἦχος πλ. α'.

Δεῦτε φιλεόρτων τὸ σύστημα, συναθροισθέντες σήμερον, ἐν χαρᾷ πανηγυρίσωμεν. Δεῦτε ᾄσμασιν ἑορτίοις μέλψωμεν τὴν σεπτὴν εἰκόνα τῆς Παμμακαρίστου. Αὕτη γὰρ θαυμασίως διασέσωσται, τὴν λύμην φυγοῦσα, ἐν τῷ πανσέπτῳ τούτῳ καὶ θείῳ ναῷ. Καὶ ἰδοὺ νῦν πρόκειται τοῖς πιστοῖς εἰς προσκύνησιν, ἀφθονίαν παρέχουσα ἰαμάτων τοῖς εὐλαβῶς προσκυνοῦσι καὶ αἰτουμένοις τὴν προστασίαν Σου, Παμμακάριστε.

Ἀπολυτίκιον τῆς Ἰνδίκτου.

Δόξα, καὶ νῦν. Τῆς Παμμαρίστου.

Ἦχος δ'. **«Ταχὺ προκατάλαβε».**

Πανήγυριν σήμερον ἐπικροτοῦμεν φαιδράν, ἰδοὺ γὰρ προτίθεται, ὦ Παμμακάριστε, εἰκών σου ἡ πάνσεπτος, ἥνπερ καρδίας πόθῳ, προσερχόμενοι πάντες, Δέσποινα, προσκυνοῦμεν καὶ θερμῶς σοι βοῶμεν, ῥῦσαι ἡμᾶς κινδύνων καὶ περιστάσεων.



**ΕΝ ΤΩ ΟΡΘΡΩ.**

Εἰς τὸ «Θεὸς Κύριος» τὰ ἀπολυτίκια τῆς Ἰνδίκτου δὶς καὶ τῆς Παμμακαρίστου ἅπαξ.

Μετὰ τὴν α'. στιχολογίαν, Κάθισμα τῆς Ἰνδίκτου.

Δόξα, Καὶ νῦν τῆς Παμμακαρίστου.

Ἦχος πλ. δ'. **«Τὴν σοφίαν καὶ λόγον».**

Κατ' εἰκόνος σεπτῆς σου τοὺς διωγμούς, ἐκμειώσασα ὅλως, Μῆτερ Θεοῦ, ταύτην περιέσωσας χαριτόβρυτον ἅπασι· τοῖς προσιοῦσι γὰρ πίστει εἰρήνην χαρίζεται καὶ οὐρανόθεν πηγάζει αὐτοῖς τὰ ἰάματα. Ὅθεν κατὰ χρέος εὐλαβῶς προσκυνοῦμεν αὐτήν, Παμμακάριστε, καὶ ἐν πίστει σοι κράζομεν οἱ κυκλούμενοι θλίψεσι· πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ῥύστης ἵνα γένηται καὶ ζωῆς αἰωνίου δοτὴρ εὐμενέστατος.

Μετὰ τὴν β'. στιχολογίαν, Κάθισμα τῆς Ἰνδίκτου,

Δόξα καὶ νῦν τῆς Παμμακαρίστου.

Ἦχος δ'. **«Κατεπλάγη Ἰωσήφ».**

Ἡ ἁγία σου, Ἁγνή, καὶ χαριτόβρυτος εἰκών, διωγμῶν τε καὶ πυρὸς φυγοῦσα λύμην καὶ φθορὰν καὶ θαυμασίως ἀλώβητος διασωθεῖσα, χάριν τοῖς πιστοῖς ἀνεξάντλητον βλύζει δαψιλῶς, Παμμακάριστε· διὸ συμφώνως σήμερον τελοῦμεν τὴν ἱεράν σου Πανήγυριν, Παρθένε, σῶζε τοὺς προσκυνοῦντας τὴν εἰκόνα σου, Πάνσεμνε.

Μετὰ τὴν γ' στιχολογίαν, Κάθισμα τῆς Παμμακαρίστου ἐκ β'.

Ἦχος α'. **«Τὸν τάφον σου Σωτήρ.»**

Ἡ θεία σου εἰκών, Παναγία Παρθένε, ἰάσεων πηγὴν ἀναβλύζει ἀφθόνως καὶ ρῶσιν χαρίζεται τοῖς ἐν πίστει προστρέχουσιν. Ὅθεν ἅπαντες, πανευλαβῶς προσκυνοῦντες, ἀσπαζόμεθα σὸν χαριτόβρυτον τύπον σεμνὴ Παμμακάριστε.

Εἶτα, τὸ α'. ἀντίφωνον τοῦ δ'. ἤχου, Προκείμενον «Μνησθήσομαι τοῦ ὀνόματός σου» μετὰ τῶν στίχων «Ἄκουσον θύγατερ· καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου κτλ.» καὶ «Ἐξηρεύξατο ἡ καρδία μου, τὸ «Πᾶσα πνοή», Εὐαγγέλιον κατὰ Λουκᾶν. «Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ» ὁ Ν'. χῦμα. Δόξα, «Ταῖς τῆς Παναχράντου» Καὶ νῦν, «Ταῖς τῆς Θεοτόκου». Εἶτα στίχ. «Ἐλέησόν με ὁ Θεὸς» καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς Ἰνδίκτου. «Ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργήσας» (ὅρα εἰς τὸν στίχον).

Εἶτα ὁ Κανὼν τῆς Ἰνδίκτου μετὰ τῶν εἱρμῶν εἰς δ'. μετὰ στίχ. «Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι» καὶ ὁ τῆς Παμμακαρίστου εἰς δ'. μετὰ στίχ. «Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς».

Ἦχος α'. Ὠδὴ Α'. **«Ὠδὴν ἐπινίκιον».**

Ἀνέτειλε σήμερον τῆς Παναχράντου Παρθένου πανήγυρις. Δεῦτε οὖν, φιλέορτοι, ἐναρμονίοις ᾠδαῖς καὶ ᾄσμασι χαρμονικῶς ταύτην ὑμνήσωμεν.

Τὴν θείαν καὶ πάνδημον τῆς Θεοτόκου τελοῦντες πανήγυριν, δράμωμεν, θεόφρονες, χεῖρας κροτοῦντες φαιδρῶς καὶ πνεύματι θεοπρεπῶς ὕμνοις τιμήσωμεν.



Ἁγνὴ Παμμακάριστε, πάνσεμνε κόρη, φαιδρὰν σου πανήγυριν χαρμοσύνως ἄγοντες, τὰ μεγαλεῖα τὰ σὰ εὐσεβοφρόνως οἱ πιστοὶ πάντες γεραίρομεν.

Μαρία πανύμνητε, κόρη παρθένε, τὴν πάνσεπτον μνήμην σου φαιδρῶς ἑορτάζοντες, ἀγαλλομένῃ ψυχῇ τὴν δόξαν σου πανευλαβῶς νῦν ἀναμέλπομεν.

Ὠδὴ Γ'. **«Στερεωθήτω ἡ καρδία μου».**

Ἐπαγγελίαν προαιώνιον ἐκπληροῦσα, Κόρη παγάμωμε, καὶ στειρευούσης ἐκ μητρὸς, ὥσπερ ἄνθος βλαστήσασα, βροτοῖς ἅπασι δεδώρησαι χαρὰν ἀνεκλάλητον.

Ἐν τῇ γεννήσει σου ηὐφράνθησαν οἱ σεπτοί σου, Κόρη, γεννήτορες, ὁ γεραρὸς Ἰωακεὶμ καὶ ἡ Ἄννα ἡ πάνσεμνος· τῷ Θεῷ δὲ προσάγοντες, πιστῶς σε ἀνέθεντο.

Ἱεροφάντωρ ὑπεδέξατο Ζαχαρίας ἔνδον τοῦ βήματος, λαμπαδηφόροι δὲ φαιδρῶς αἱ παρθένοι συνέδραμον πρὸς τὸν Κτίστην, ἀναμέλπουσαι ᾠδὴν χαριστήριον.

Ἀνατραφεῖσα εἰς τὰ ἅγια τῶν ἁγίων, Κόρη πανάχραντε, ὑπῆρξας ὅλη καθαρὰ καὶ ἁγία καὶ ἄμωμος· δι' ἀγγέλου γὰρ ἐλάμβανες τροφὴν ἐπουράνιον.

Ἀπὸ γ'. ᾠδῆς Κοντάκιον καὶ Οἶκος τῆς Ἰνδίκτου. Κάθισμα τῆς Ἰνδίκτου. Δόξα, καὶ νῦν τῆς Παμμακαρίστου (ὅρα εἰς τὴν β' στιχολογίαν «Ἡ ἁγία σου ἁγνὴ» κτλ.)

Ὠδὴ Δ΄. «Ἐν πνεύματι προβλέπων».

Ἀρχάγγελος ἐπέμφθη ἐξ ὕψους οὐρανῶν, εὐαγγελιζόμενος μυστήριον φρικτόν. Ἐν τῇ γαστρί σου δ᾽ ἀφράστως κυοφοροῦσα καὶ τὸν ἁπάντων ποιητὴν ἀποτεκοῦσα, ἔσωσας τὸν ἄνθρωπον, Δέσποινα.

Ἀνύμφευτε Παρθένε, σεμνὴ περιστερά, Θεὸν λόγον ἄναρχον ἐγέννησας ἐν γῇ καὶ πρὸ τοῦ τόκου, παρθένος ἠγλαϊσμένη, μετὰ δὲ τόκον ἀληθῶς ἡγιασμένη μείνασα, Μαρία θεόνυμφε.

Εἰς χώραν αἰγυπτίαν μετέβης, ὦ σεμνή, καὶ θαυμάτων γέγονας αὐτόπτης φοβερῶν· τὸν δὲ Υἱόν σου ἐν ξύλῳ ἀνηρτημένον καὶ ἐν μνημείῳ τῷ κενῷ ἐγκεκλεισμένον εἶδες, ἀναστάντα τριήμερον.

Ὡς ἔμψυχος νεφέλη καὶ στήλη τοῦ φωτός, φωτοδότην Ἥλιον κατέδειξας ἡμῖν· εἰς οὐρανοὺς δὲ μετέστης, εὐλογημένη, ἐν διαχρύσῳ καλλονῇ πεποικιλμένη, δόξα τῶν Ἀγγέλων Παντάνασσα.

Ὠδὴ Ε΄. «Τὴν σὴν εἰρήνην δὸς ἡμῖν».

Ὁ σὸς Υἱὸς μέν, Πάναγνε, δεδώρηται πιστοῖς θείας ἐκμαγεῖον μορφῆς ἀχειρότευκτον. Σὺ δέ, Παρθένε Παμμακάριστε, τῷ κόσμῳ τὴν σεπτήν σου κατέλιπες εἰκόνα.

Τὴν ἄχραντον εἰκόνα σου, ὦ μῆτερ τοῦ Θεοῦ, ταῖς θεοφεγγέσιν ἐλάμπρυνας χάρισι· τῇ βασιλίδι δὲ τῶν πόλεων, βασίλισσα τῶν θείων, ἀνέθηκας, Ἀγγέλων.



Πολλὰ μὲν διαμείψασα ἡ θεία σου εἰκὼν πάνσεπτα τεμένη, σεμνὴ Παμμακάριστε, δεδοξασμένη κατεσκήνωσεν ἐν τῷ ναῷ τῷ θείῳ κλεινοῦ Τροπαιοφόρου.

Βασιλευούσης πόλεως ἡ πάντιμος εἰκών, Ἄχραντε Παρθένε, ὑπάρχει τὸ καύχημα, καὶ τοῖς ἐν πίστει καταφεύγουσι πλουσίως ἀναβλύζει τὴν ἄφθονόν σου χάριν.

Ὠδὴ ς΄. «Τὸν προφήτην Ἰωνᾶν».

Ὁ προφήτης, δεηθείς, ἠλευθέρωται φθορᾶς· ἀσπαζόμενοι δ᾽ ἡμεῖς τὴν εἰκόνα σου, Σεμνή, Θεόνυμφε, δεινῶν κινδύνων πίστει λυτρούμεθα.

Τὴν φαιδράν σου καὶ σεπτὴν ἐκτελοῦντες ἑορτήν, καὶ ναμάτων ποταμοὺς ἐξαντλοῦντες νοερῶν, Πανύμνητε, τὴν σὴν εἰκόνα κατασπαζόμεθα.

Ἀνεξάντλητος πηγὴ χαρισμάτων ἱερῶν, σῆς ἐνδείκνυται μορφῆς, ἡ πανάχραντος εἰκών, Πανάμωμε, παντὶ τῷ κόσμῳ χάριν ἐκπέμπουσα.

Ἡ ἁγία σου εἰκών, Παμμακάριστε ἁγνή, τῆς Μεγάλης καὶ σεπτῆς Ἐκκλησίας τοῦ Χριστοῦ, ἀγλάϊσμα ὑπάρχει μέγα καὶ ἐγκαλλώπισμα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Κοντάκιον.

Ἦχος δ'. «Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ».

Ἐν Χριστομάρτυρος ναῷ Γεωργίου ἁπανταχόθεν οἱ πιστοὶ συνελθόντες, τὴν ἱεράν σου, Δέσποινα, πρὸς δόξαν τοῦ Θεοῦ σήμερον πανήγυριν πανευλαβῶς τελοῦμεν. Πόθῳ δ' ἀσπαζόμενοι τὴν σεπτήν σου εἰκόνα, σοὶ μελῳδοῦμεν πάντες ἐν χαρᾷ «Χαῖρε, Παρθένε σεμνὴ Παμμακάριστε».

Ὁ Οἶκος. «Ὁ μετὰ τρίτον οὐρανόν».

Ἡ πρὸ αἰώνων ἐκ Θεοῦ σαφῶς ἐκλελεγμένη καὶ μήτηρ γενομένη τοῦ πάντων βασιλέως, οὗ τὴν ἀθέατον μορφὴν σαρκὶ περιβαλοῦσα καὶ δεινῶς ἀμαυρωθεῖσαν τὴν εἰκόνα τοῦ Ἀδὰμ ἀφράστως ἀναπλάσασα καὶ τῇ θείᾳ δυνάμει τὸν ἄρχοντα κτείνασα τοῦ σκότους καὶ ὑπέρμαχος δειχθεῖσα στρατηγὸς, φρούρει βασιλεύουσάν τε Πόλιν καὶ λαὸν χριστώνυμον σῶζε, Θεοτόκε, τὴν εἰκόνα σου τιμῶντα καὶ βοῶντά σοι θερμῶς «Χαῖρε, Παρθένε σεμνὴ Παμμακάριστε».

Τὸ ὑπόμνημα τῆς Ἰνδίκτου καὶ εἶτα.

«Τῇ αὐτῇ ἡμέρᾳ σύναξιν ποιούμεθα πρὸς τιμὴν καὶ μνήμην τῆς σεπτῆς εἰκόνος τῆς Ὑπεραγίας ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς ἐν τῷ Πατριαρχικῷ ναῷ τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου κατατεθειμένης καὶ ἐπιλεγομένης τῆς «Παμμακαρίστου».



**Στίχοι.**

Εἰκὼν πλαγχθεῖσα Μητροπαρθένου Κόρης
ναίει νῦν σεπτὸν Τροπαιοφόρου δόμον.
Εἰκὼν Θεοτόκου μεγαλώνυμον ἔλλαχε ναόν.

Καὶ τὰ λοιπὰ ὑπομνήματα.

Ὠδὴ Ζ'. «Σὲ νοητήν».

Εἶχε μὲν πρὶν κιβωτὸν θεόσδοτον τοῦ Μαρτυρίου ἡ σκηνή· Σολομῶντος δὲ ὁ ναὸς ταύτην ἐκληρώσατο, θεῖον ἐγκαλώπισμα· τὴν δὲ μορφήν σου κατέχουσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία, φαιδρῶς ἐπαγάλλεται.

Πάλαι σκιρτῶν, Θεοπάτωρ ἥλατο πρὸ τῆς σκιώδους Κιβωτοῦ· χριστεπώνυμός δὲ λαὸς τήνδε Παμμακάριστε, πάνσεπτον εἰκόνα σου, ὡς κιβωτὸν ἁγιάσματος ἐν τῇ Χριστοῦ Ἐκκλησίᾳ, τιμῶν, ἐναβρύνεται.

Λαύρῳ πυρὶ τὰς εἰκόνας ἔρριπτον εἰκονομάχοι δυσμενεῖς. Θεοδώρα δὲ ἡ βασιλὶς εὐσεβείας τρόπαιον ταύτας ἀνεστήλωσεν· οἱ δὲ πιστοὶ νῦν ἀσπάζονται τὴν ἱεράν σου εἰκόνα, σεμνὴ Παμμακάριστε.

Μῆτερ ἁγνή, Θεοτόκε πανάχραντε, καταπλουτοῦμεν οἱ πιστοὶ χαρακτῆρα τῆς σῆς μορφῆς, ὄντως πολυτίμητον ἔχοντες θησαύρισμα· καὶ γὰρ ἡμεῖς μετὰ πίστεως τὴν σὴν τιμῶντες εἰκόνα, τιμῶμεν τὸ πρωτότυπον.

«Ὠδὴ Η'. «Ὃν φρίττουσιν Ἄγγελοι».

Εἰκόνα χλευάσαντες τυράννου δυσσεβοῦς οἱ Παῖ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δες, ἐρρύσθησαν καμίνου καὶ φλογός. Ἡμεῖς δὲ, τιμῶντες σὴν εἰκόνα σεπτὴν, λυτρούμεθα κινδύνων παντοίων, Θεοτόκε.

Εἰκόνων προσκύνησιν ὁ Λέων ἀπηνῶς λαοῖς ἀπηγόρευσε, προστάγματι δεινῷ. Ἁγνὴ δὲ σὺ δίδως τοῖς πιστοῖς θησαυρὸν σῆς μορφῆς, Παρθένε, τὴν πάνσεπτον εἰκόνα.

Εἰκόνων ὑπέρμαχοι τῶν θείων ἀθληταὶ, πικρίας ὑπέμειναν βασάνων χαλεπῶν, οἱ σέβοντες δ' ὅμως τὴν σεπτήν σου μορφὴν σώζονται, Παρθένε, παντοίων ἐκ κινδύνων.

Εἰκόνες καὶ εἴδωλα λατρείας ἀσεβοῦς, φθορᾷ ἠφανίσθησαν. Καὶ ἤδη εὐλαβῶς δοξάζομεν πάντες τὴν εἰκόνα τὴν σὴν, Ἄχραντε Παρθένε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. «**Τὴν φωτοφόρον νεφέλην**».

**Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὴν μόνην Θεοτόκον.**

Λαμπροφεγγὴς ὡς ἡμέρα καὶ τοῦ Φωτὸς οὖσα μήτηρ, πᾶσιν ἐκπέμπεις παμφαῶς σωτηρίας ἀκτῖνας· διό σε πάντες οἱ πιστοὶ, φαιδρῶς ἀγαλλόμενοι, Πανάχραντε, νῦν ἐν ὕμνοις τιμῶντες, ἐκτελοῦμεν τὴν σεπτήν σου ἑορτήν.

Τὴν φωτομόρφων Ἀγγέλων καὶ Χερουβὶμ ὑπερτέραν καὶ πλατυτέραν οὐρανῶν καὶ μητέρα παρθένον



δοξολογοῦντες ἀληθῶς καὶ σὲ μεγαλύνοντες, Πανάμωμε, τὴν σεπτήν σου εἰκόνα μετὰ πόθου προσκυνοῦμεν εὐσεβῶς.

Τῆς Παναχράντου μορφῆς σου τὴν σεβασμίαν εἰκόνα οἱ στεφηφόροι βασιλεῖς καὶ σεπτοὶ Πατριάρχαι καὶ πᾶς ὁ κλῆρος καὶ λαὸς, ἁγνὴ Παμμακάριστε, προσπίπτοντες εὐσεβῶς, προσκυνοῦμεν καὶ δοξάζομεν τὸν πάντων ποιητήν.

Ἀπόστολοι Θεοφόροι, τὸ σὸν κηδεύοντες σῶμα, μύρων ἀρώμασιν ἁγνοῖς κατεμύριζον πάλαι, τὴν δὲ εἰκόνα σου, ἁγνὴ Παρθένε Παντάνασσα, οἱ ἄγγελοι, ἀοράτως ἑστῶτες, θείοις ᾄσμασι τιμῶσιν εὐλαβῶς.

Δόξα. (**Τριαδικόν**).

Ὁ πρὸ αἰώνων ὑπάρχων δημιουργὸς τῶν ἁπάντων Θεὸς, ὁ ἄναρχος Πατὴρ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, μία θεότης ἀληθὴς, Τριὰς ὁμοούσιε καὶ σύνθρονε, ταῖς λιταῖς τῆς Πανάγνου περιφρούρει τὸν λαόν σου τὸν πιστόν.

Καὶ νῦν.

Δοξολογοῦμεν, Παρθένε, τὸν σὸν ἀλόχευτον τόκον καὶ προσκυνοῦμεν εὐσεβῶς τὴν σεπτήν σου εἰκόνα, ἵνα ρυσθῶμεν πειρασμῶν καὶ χάριν ἀένναον ἀντλήσω-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μεν· διὸ σαῖς ἱκεσίαις σκέπε, φρούρει τοὺς ἐλπίζοντας εἰς σέ.

Ἐξαποστειλάρια· δύο τῆς Ἰνδίκτου καὶ τῆς Παμμακαρίστου.

**«Τοῖς μαθηταῖς συνέλθωμεν».**

Ἀγγελικῶς σε μέλπομεν, Θεοτόκε Παρθένε, ὅτι Χριστὸν ἐγέννησας τὸν Σωτῆρα τοῦ κόσμου. Ὡς μητρικὴν οὖν πρὸς τοῦτον ἔχουσα παρρησίαν, ἀπαύστως καθικέτευε μετὰ πάντων ἁγίων, ὑπὲρ ἡμῶν, τῶν τὴν σὴν πανήγυριν ἐκτελούντων καὶ προσκυνούντων, Πάναγνε, τὴν σεπτήν σου εἰκόνα.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἰνδίκτου γ'. καὶ γ'. στιχηρὰ προσόμοια τῆς Παμμακαρίστου.

Ἦχος δ'. **«Ὡς γενναῖον ἐν μάρτυσι».**

Παμμακάριστος δέσποινα, ἐξαιρέτως σὺ πέφηνας, συλλαβοῦσα, ἄχραντε, τὸν ἀχώρητον καὶ ἐν ἀγκάλαις βαστάσασα τὸν πάντα βαστάζοντα καὶ τῷ ρήματι αὐτοῦ τῆς δυνάμεως φέροντα κόσμον ἅπαντα, Παναγία Παρθένε, χαῖρε, σκῆνος τοῦ Σωτῆρος γενομένη καὶ τὴν ἀρὰν ἡμῖν λύσασα.

Μεγαλύνομεν, ἄχραντε, καὶ τιμῶμεν τὸν τόκον σου, ἐν ψαλμοῖς καὶ ᾄσμασι μακαρίζοντες· σὲ τὴν ἁγνὴν Ἀειπάρθενον, ἀφράστως γεννήσασαν τὸν Θεάνθρωπον Χριστὸν, τὸν ἡμᾶς λυτρωσάμενον. Χαῖρε, Δέ-



σποινα, Παμμακάριστε κόρη, χαῖρε, μόνη, ἣν ἀεὶ μακαριοῦσιν αἱ γενεαὶ, ὡς προέφησας.

Γενεαὶ πᾶσαι, Πάναγνε, τῶν ἐθνῶν μακαρίζουσι τὴν ἀειμακάριστον καὶ Θεόνυμφον, ἣν ὁ Χριστὸς ἐχαρίτωσε, πηγήν τε ἀπέδειξεν ἰαμάτων πολλαπλῶν καὶ θαυμάτων ἀέναον τοῖς πιστεύουσι, Παμμακάριστε Κόρη, τῷ Υἱῷ σου, ὃν ἱκέτευε ἀπαύστως ὑπὲρ τῶν πόθῳ τιμώντων σε.

Δόξα· τῆς Ἰνδίκτου, **«Ὁ ἀρρήτῳ σοφίᾳ».**

Καὶ νῦν· τῆς Παμμακαρίστου.

Ἦχος πλ. δ'.

Ἡ Πνεύματι ἁγίῳ συλλαβοῦσα τὸν Θεάνθρωπον, Ἄχραντε Παρθένε Παμμακάριστε, ἡ θερμὴ μεσίτρια, πρὸς Θεὸν ὑπάρχουσα, τοὺς πίστει σε προσκυνοῦντας φύλαττε, τὴν Ἐκκλησίαν ἐν τῇ δυνάμει σου κράτυνον, διδοῦσα τὴν κατὰ τῶν πολεμίων ἰσχὺν, ἡ μόνη προστασία καὶ βοήθεια.

Δοξολογία μεγάλη, καὶ τὸ Ἀπολυτίκιον τῆς Παμμακαρίστου.

Ἐν τοῖς Διπτύχοις, Μεγαλυνάριον τῆς Παμμακαρίστου.

Τῆς ἀειπαρθένου σεμνῆς Μητρὸς, τῆς Παμμακαρίστου τὴν χαρμόσυνον ἑορτὴν σήμερον τελοῦντες, ἐν μέσῳ Ἐκκλησίας τὴν ἄχραντον εἰκόνα πάντες τιμήσωμεν.

**ΤΕΛΟΣ.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ